γιστον ἱερὸν καὶ θεῖον ἔνιοι προσαγορεύουσιν. εἶθ᾽ ὥσπερ
ἐν Αἰγύπτῳ ποτὲ γείτονας ἑώρων δύο διαμφισβητοῦντας,
ὄφεως προερπύσαντος εἰς τὴν ὁδόν, ἀμφοτέρων μὲν ἀγα-
θὸν δαίμονα καλούντων ἑκατέρου δ᾽ ἔχειν ἀξιοῦντος ὡς
ἴδιον, οὕτως ὁρῶν ὑμῶν ἄρτι τοὺς μὲν εἰς τὴν ἀνδρωνῖτιν
F ἕλκοντας τὸν Ἔρωτα τοὺς δ᾽ εἰς τὴν γυναικωνῖτιν, ὑπερ-
φυὲς καὶ θεῖον ἀγαθόν, οὐκ ἐθαύμαζον, εἰ τηλικαύτην
δύναμιν ἔσχε καὶ τιμὴν τὸ πάθος, οἷς ἦν προσῆκον ἐξε-
λαύνειν αὐτὸ πανταχόθεν καὶ κολούειν, ὑπὸ τούτων αὐξα-
νόμενον καὶ σεμνυνόμενον. ἄρτι μὲν οὖν ἡσυχίαν ἦγον·
ἐν γὰρ ἰδίοις μᾶλλον ἢ κοινοῖς ἑώρων τὴν ἀμφισβήτησιν
**756** οὖσαν· | νυνὶ δ᾽ ἀπηλλαγμένος Πεισίου, ἡδέως ἂν ὑμῶν
ἀκούσαιμι πρὸς τί βλέψαντες ἀπεφήναντο τὸν Ἔρωτα
θεὸν οἱ πρῶτοι τοῦτο λέξαντες.᾽

**13.** Παυσαμένου δὲ τοῦ Πεμπτίδου καὶ τοῦ πατρὸς
ἀρξαμένου τι περὶ τούτων λέγειν, ἕτερος ἧκεν ἐκ πό-
λεως, τὸν Ἀνθεμίωνα μεταπεμπομένης τῆς Ἰσμηνοδώρας·
ἐπέτεινε γὰρ ἡ ταραχή, καὶ τῶν γυμνασιάρχων ἦν δια-
φορά, τοῦ μὲν οἰομένου δεῖν τὸν Βάκχωνα ἀπαιτεῖν τοῦ
δὲ πολυπραγμονεῖν οὐκ ἐῶντος. ὁ μὲν οὖν Ἀνθεμίων
ἀναστὰς ἐβάδιζεν· ὁ δὲ πατὴρ τὸν Πεμπτίδην ὀνομαστὶ
προσαγορεύσας ‛μεγάλου μοι δοκεῖς ἅπτεσθαι᾽ εἶπεν ‛καὶ
B παραβόλου πράγματος, ὦ Πεμπτίδη, μᾶλλον δ᾽ ὅλως τὰ
ἀκίνητα κινεῖν τῆς περὶ θεῶν δόξης ἣν ἔχομεν, περὶ ἑκά-
στου λόγον ἀπαιτῶν καὶ ἀπόδειξιν. ἀρκεῖ γὰρ ἡ πάτριος
καὶ παλαιὰ πίστις, ἧς οὐκ ἔστιν εἰπεῖν οὐδ᾽ ἀνευρεῖν
τεκμήριον ἐναργέστερον (Eur. Bacch. 203)

‛οὐδ᾽ εἰ δι᾽ ἄκρας τὸ σοφὸν εὕρηται φρενός᾽·

ἀλλ᾽ ἕδρα τις αὕτη καὶ βάσις ὑφεστῶσα κοινὴ πρὸς εὐσέ-